γδίζων. παρὰ δὲ τὰ χείλη τοῦ Θερμώδον-
τος ποταμοῦ εὑρίσκεται, καὶ περὶ Ἀμα-
θοῦντας, οὐ τὰς ἐν Κύπρῳ, ἀλλ' ἔστι γένος
πολὺ καλούμενον Ἀμαθούσιον. τὸ εἶδος δὲ
τοιόνδε ἐστὶ τοῦ λίθου: κατὰ τὴν σμάραγδόν
ἐστι χλωρίζουσα, ἀλλὰ ἀμβλυτέρα καὶ ἀμαυ-
ροτέρα. καὶ ἔνδοθεν χλωρὸν ἔχει τὸ σῶμα,
ἐοικυῖα ἰῷ χαλκοῦ, † ἔχουσι φλέβας τετρα-
στίχους. † ὡς δὲ παρ' ἠκούσαμεν ἐστὶν φαν-
τασίας ὡς οἱ μυθολόγοι λέγουσιν. ἄλλη δὲ
ἐστι γλαυκοτέρα θαλάσσης, βαθυτέρα τῷ
ἄνθει καὶ τῇ βαφῇ. ἄλλη δὲ ἐν τοῖς σπηλαί-
οις, ἐν τῷ ὄρει τῆς Ἴδης ἐν τῇ Φρυγίᾳ, † ὁ-
μοιάζουσα τῇ ἀέρι τοῦ αἵματος κόχλου, δι-
αυγεστέρα μᾶλλον, ὥσπερ οἴνῳ ὁμοιάζουσα, ἢ
ἀμεθύστου † ξανθοτέρα. οὐ γάρ ἐστι μιᾶς χροι-
ᾶς, οὐδὲ τῆς αὐτῆς δυνάμεως. ἀλλ' ἡ μὲν
ἐστι χαυνοτέρα, καὶ λευκοτέρα, οὔτε πάνυ
στίλβουσα, οὔτε πάλιν ἀχλύουσα. ἄλλη δὲ
κρυστάλλου ὕδατι ὁμοία. λέγεται δὲ ὑ-
πὸ τῶν μυθοποιῶν ἄκος εἶναι † φαντασιῶν.
εὑρέθη δὲ παρὰ Ἴβηρσι, καὶ ποιμέσιν Ὑρκα-
νῶν τοῖς κατὰ τὴν Κασπίαν γῆν. ἄλλη δὲ ἴα-
σπις, οὐ πάνυ λάμπουσα χλωρὰ, ἥτις ἔχει

γραμ-

† Ἀμαθοῦντα τὴν ἐν Κύπρῳ.
† ἔχουσα.
† καὶ ταύτην ἄκος τῶν φαντασμάτων, οἱ μυθ.
† πορφύρας τοῦ ἀέρος τοῦ αἵμ.
† Βαθυτέρα.
† φαντασμάτων.